καὶ ἡ βροντὴ ἐπαταγεῖτο, καὶ ἡ ἀστραπὴ συνεχὲς, ὥσπερ εἰς ἀκροβολισμὸν, προηκοντίζετο· οἱ σεισμοὶ δὲ, κοσκινηδὸν[7], καὶ ἡ χιὼν, σωρηδὸν[8], καὶ ἡ χάλαζα πετρηδόν· καὶ ἵνα σοι φορτικῶς[9] διαλέγωμαι, ὑετοί τε ῥαγδαῖοι, καὶ βίαιοι, ποταμὸς ἑκάστη σταγών· ὥστε τηλικαύτη ἐν ἀκαρεῖ χρόνου ναυαγία[10] ἐπὶ τοῦ Δευκαλίωνος ἐγένετο, ὡς ὑποβρυχίων ἁπάντων καταδεδυκότων, μόγις ἕν τι κιβώτιον περισωθῆναι προσοκεῖλαν τῷ Λυκωρεῖ[11], ζώπυρόν τι τοῦ ἀνθρωπίνου σπέρματος διαφυλάττον εἰς ἐπιγονὴν κακίας μείζονος. Τοιγάρτοι ἀκόλουθα τῆς ῥαθυμίας τἀπίχειρα κομίζῃ παρ᾽ αὐτῶν, οὔτε θύοντος ἔτι σοί τινος οὔτε στεφανοῦντος, εἰ μή τις ἄρα πάρεργον[12] Ὀλυμπίων· καὶ οὗτος, οὐ πάνυ ἀναγκαῖα ποιεῖν δοκῶν, ἀλλ᾽ εἰς ἔθος τι ἀρχαῖον συντελῶν· καὶ κατ᾽ ὀλίγον Κρόνον σε, ὦ θεῶν γενναιότατε, ἀποφαίνουσι, παρωσάμενοι τῆς τιμῆς· ἐῶ λέγειν ὁποσάκις ἤδη σου τὸν νεὼν σεσυλήκασιν· οἱ δὲ καὶ αὐτῷ σοι τὰς χεῖρας Ὀλυμπιάσιν ἐπιβεβλήκασι[13]· καὶ σὺ ὁ ὑψιβρεμέτης[14] ὤκνησας, ἢ ἀναστῆσαι τοὺς κύνας, ἢ τοὺς γείτονας ἐπικαλέσασθαι[15], ὡς βοηδρομήσαντες αὐτοὺς συλλάβοιεν, ἔτι συσκευαζομένους πρὸς τὴν φυγήν· ἀλλ᾽ ὁ γενναῖος, καὶ Γιγαντολέτωρ, καὶ Τιτανοκράτωρ, ἐκάθησο, τοὺς πλοκάμους[16] περικειρόμενος ὑπ᾽ αὐτῶν, δεκάπηχυν κεραυνὸν ἔχων ἐν τῇ δεξιᾷ[16*]. Ταῦτα τοίνυν, ὦ θαυμάσιε[17], πηνίκα παύσεται οὕτως ἀμελῶς παρορώμενα; ἢ πότε κολάσεις τὴν τοσαύτην ἀδικίαν; πόσοι Φαέθοντες[18] ἢ Δευκαλίωνες[18], ἱκανοὶ πρὸς οὕτως ὑπέραντλον ὕβριν τοῦ βίου; Ἵνα γὰρ τὰ κοινὰ ἐάσας, τἀμὰ εἴπω, τοσούτους Ἀθηναίων εἰς ὕψος ἄρας, καὶ πλουσίους ἐκ πενεστάτων ἀποφήνας, καὶ πᾶσι τοῖς δεομένοις ἐπικουρήσας, μᾶλλον δὲ ἀθρόον ἐς εὐεργεσίαν τῶν φίλων ἐκχέας τὸν πλοῦτον, ἐπειδὴ πένης διὰ ταῦτα ἐγενόμην, οὐκ ἔτι οὐδὲ γνωρίζομαι πρὸς αὐτῶν, οὔτε προσβλέπουσιν οἱ τέως ὑποπτήσσοντες καὶ προσκυνοῦντες, κἀκ τοῦ ἐμοῦ νεύματος ἀνηρτημένοι· ἀλλ᾽ ἤν που καὶ ὁδῷ βαδίζων ἐντύχοιμί τινι αὐτῶν, ὥσπερ τινὰ στήλην παλαιοῦ νεκροῦ ὑπτίαν, ὑπὸ τοῦ χρόνου ἀνατετραμμένην, παρέρχονται, μηδὲ ἀναγνόντες· οἱ δὲ καὶ πόῤῥωθεν ἰδόντες, ἑτέραν[19] ἐκτρέπονται, δυσάντητον, καὶ ἀποτρόπαιον θέαμα, ὄψεσθαι ὑπολαμβάνοντες, τὸν οὐ πρὸ πολλοῦ σωτῆρα, καὶ εὐεργέτην αὐτῶν γεγενημένον. Ὥστε ὑπὸ τῶν κακῶν ἐπὶ ταύτην τὴν ἐσχατιὰν τραπόμενος, ἐναψάμενος διφθέραν, ἐργάζομαι τὴν γῆν, ὑπόμισθος ὀβολῶν τεττάρων[20], τῇ ἐρημίᾳ καὶ τῇ δικέλλῃ προσφιλοσοφῶν ἐνταῦθα· τοῦτο γοῦν[21] μοι δοκῶ κερδανεῖν, μηκέτι ὄψεσθαι πολλοὺς παρὰ

---

7) (Ἐνν.) Ἔσειον τὴν γῆν. 8) (Ἐνν.) Ἔπιπτε. 9) Μὲ τρόπον ἀηδῆ, πληκτικόν· τοῦτο δὲ διὰ τὴν ἑπομένην ὑπερβολικὴν φράσιν. 10) Καταχρηστικῶς ἢ κωμικῶς ἀντὶ Κατακλυσμός.

11) Βουνὸν καὶ πολίχνιον τῆς Φωκίδος παρὰ τοὺς Δελφοὺς ὁ Λυκωρεὺς ὁ καὶ Λυκώρεια.

12) Ὡς πάρεργον τῆς πανηγύρεως τῶν Ὀλυμπίων. 13) Συλήσαντες τὸν χρυσὸν τοῦ ἐν Ὀλυμπίᾳ ἀγάλματός σου. 14) Ποιητικὸν ἐπίθετον τοῦ Διός. 15) Καθὼς ἤθελε κάμει δηλονότι ὁ ἀτολμότερος οἰκοδεσπότης, ἐὰν παρεισέδυον κλέπται εἰς τὸν οἶκόν του.

16) Οἱ πλόκαμοι τοῦ ἀγάλματος τοῦ ἐν Ὀλυμπίᾳ Διὸς, καθὼς καὶ ἄλλων πολλῶν ἀγαλμάτων, ἦσαν χρυσοῖ. 16*) Κατὰ τὸν Παυσαν. ὁ ἐν Ὀλυμπίᾳ Ζεὺς ἐκράτει εἰς τὴν δεξιὰν ὄχι κεραυνὸν, ἀλλὰ Νίκην, εἰς δὲ τὴν ἀριστερὰν σκῆπτρον. 17) Κωμικῶς ἀντὶ Ἄθλιε.

18) Πόσαι διὰ πυρὸς καὶ ὕδατος, ὡς ἐπὶ τοῦ Φαέθοντος καὶ τοῦ Δευκαλίωνος, καταστροφαὶ εἶναι ἱκαναὶ πρὸς τοσαύτην ὕβριν; 19) (Ἐνν.) ὁδόν. 20) (Ἀντὶ) ὀβ. τεσσ. (κοινῶς) Διὰ τέσσαρας ὀβ. 21) Ἐλαττωτ. Κἂν, τοὐλάχιστον.